UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL
BERGISCHE UNIVERSITÄT WUPPERTAL

Universitätsbibliothek Wuppertal

Flavii Philostrati quae supersunt

Philostratus, Flavius

Turici, 1844

Προοίμιον

Nutzungsrichtlinien Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-5613

Visual Library

ΦΙΛΟΣΤΡΑΤΟΥ ΕΙΚΟΝΕΣ.

ΠΡΟΟΙΜΙΟΝ.

3 ed. J. Ὅστις μὴ ἀσπάζεται τὴν ζωγραφίαν, ἀδικεῖ τὴν ἀλήθειαν, ἀδικεῖ δὲ καὶ σοφίαν, ὁπόση ἐς 762
ποιητὰς ἥκει — φορὰ γὰρ ἴση ἀμφοῖν ἐς τὰ τῶν ἡρώων εἴδη καὶ ἔργα — ξυμμετρίαν τε οὐκ
ἐπαινεῖ, δι' ἣν καὶ λόγου ἡ τέχνη ἅπτεται. καὶ βουλομένῳ μὲν σοφίζεσθαι θεῶν τὸ εὕρημα διά τε
τὰ ἐν γῇ εἴδη, ὁπόσα τοὺς λειμῶνας αἱ ὧραι γράφουσι, διά τε τὰ ἐν οὐρανῷ φαινόμενα, βασα-
νίζοντι δὲ τὴν γένεσιν τῆς τέχνης μίμησις μὲν εὕρημα πρεσβύτατον καὶ ξυγγενέστατον τῇ φύσει, 5
εὗρον δὲ αὐτὴν σοφοὶ ἄνδρες τὸ μὲν ζωγραφίαν, τὸ δὲ πλαστικὴν φήσαντες. καὶ πλαστικῆς μὲν
πολλὰ εἴδη, καὶ γὰρ αὐτὸ τὸ πλάττειν καὶ ἡ ἐν τῷ χαλκῷ μίμησις καὶ οἱ ξέοντες τὴν λυγδίνην ἢ
τὴν Παρίαν λίθον καὶ ὁ ἐλέφας, καί, νὴ Δία, ἡ γλυφικὴ πλαστική, ζωγραφία δὲ ξυμβέβληται μὲν 763
ἐκ χρωμάτων, πράττει δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πλείω σοφίζεται ἀπὸ τούτου γε ἑνὸς ὄντος ἢ
ἀπὸ τῶν πολλῶν ἡ ἑτέρα τέχνη, σκιάν τε γὰρ ἀποφαίνει καὶ βλέμμα γιγνώσκει ἄλλο μὲν τοῦ με- 10
μηνότος, ἄλλο δὲ τοῦ ἀλγοῦντος ἢ τοῦ χαίροντος καὶ αὐγὰς ὀμμάτων, ὁποῖαί εἰσιν, ὁ πλαστικὸς
μέν τις ἥκιστα ἐργάζεται, χαροπὸν δὲ ὄμμα καὶ γλαυκὸν καὶ μέλαν γραφικὴ οἶδε, καὶ ξανθὴν
4 κόμην οἶδε καὶ πυρσὴν καὶ ἡλιῶσαν καὶ ἐσθῆτος χρῶμα καὶ ὅπλων θαλάμους τε καὶ οἰκίας καὶ
ἄλση καὶ ὄρη καὶ πηγὰς καὶ τὸν αἰθέρα, ἐν ᾧ ταῦτα. ὅσοι μὲν οὖν κράτος ἤραντο τῆς ἐπιστήμης
καὶ ὅσαι πόλεις καὶ ὅσοι βασιλεῖς ἔρωτι ἐς αὐτὴν ἐχρήσαντο, ἄλλοις τε εἴρηται καὶ Ἀριστοδήμῳ 15
τῷ ἐκ Καρίας, ὃν ἐγὼ ἐπὶ ζωγραφίᾳ ξένον ἐποιησάμην ἐτῶν τεττάρων, ἔγραφε δὲ κατὰ τὴν Εὐ-
μήλου σοφίαν πολὺ τὸ ἐπίχαρι ἐς αὐτὴν φέρων· ὁ λόγος δὲ οὐ περὶ ζωγράφων, οὐδ' ἱστορίας
αὐτῶν νῦν, ἀλλ' εἴδη ζωγραφίας ἀπαγγέλλομεν ὁμιλίας αὐτὰ τοῖς νέοις συντιθέντες, ἀφ' ὧν ἑρμη-
νεύσουσί τε καὶ τοῦ δοκίμου ἐπιμελήσονται. ἀφορμαὶ δέ μοι τουτωνὶ τῶν λόγων αἵδε ἐγένοντο·
ἦν μὲν ὁ παρὰ τοῖς Νεαπολίταις ἀγών, ἡ δὲ πόλις ἐν Ἰταλίᾳ ᾤκισται γένος Ἕλληνες καὶ ἀστυκοί, 20
ὅθεν καὶ τὰς σπουδὰς τῶν λόγων Ἑλληνικοί εἰσι, βουλομένῳ δέ μοι τὰς μελέτας μὴ ἐν τῷ φανερῷ

Liber hic plerisque in codd. et ε sic inscribitur: *Εἰκόνες Φιλοστράτου* (*Φιλ. Εἰκ.* vd. n, et *Εἰκ. τοῦ Φιλ.* λ, p 2956, p 1760.) *προοίμιον ἑλλαδίᾳ.* (ἑλλαδια. l. majusculis ἑλλάδια. j, p 1698, 1760. ἑλλαδικὰ vt. 100. ἑλαδία. π
ven. cl. XI, 29.) Verba *προοίμιον ἑλλαδία* om. f, p 2956, λ, et omnino inscriptionem p 1761. In n legitur plenus titulus: *Φιλ. Εἰκ. βιβλίον πρῶτον. προοίμιον ἑλλαδία*, in l *Εἰκ. Φιλ. προοίμιον ἑλλαδία* (subsc. π) *βιβλίον πρῶτον.* Apud Jac. *των του Φιλοστρατου εικονων προοιμιον ἑλλαδια* litteris majusculis. Ego substiti in titulo *προοίμιον*, auctore Ol.

1. *ὅστις — ἥκει.* v. ib. *ἀσπάζεσθαι.* l, j. ib. *ἀδικεῖ καὶ σοφίαν.* v. *ἀδικεῖ δὲ σοφίαν.* f. 2. *ἔργα καὶ εἴδη.* f. ib. *δὲ οὐκ.* J. 3. *καὶ βουλομένῳ — φήσαντες.* v. *καὶ βουλομένῳ — φαινόμενα.* Gramm. ap. Herm. 366. ib. *εὕρεμα.* v, vd, μ, r, β, γ, g. *αἴνιγμα.* ψ. 5. *εὕρεμα* ut 3. ib. *συγγ.* γ, g, gu, ψ. 6. *καὶ* om. m. ib. *μὲν οὖν.* f. 7. *Λυγδίνην.* o. 8. *τὸν* et η suprasc. br. ib. *ξυμβέβληται.* f, γ, g, J. 9. *ἀλλὰ πλείω.* vd. 10. *ἡ ἑτέρα* conj. J. *ἑτέρα.* C, E. 11. *ἢ χαίροντος.* r, ρ, β. ib. *ὃ πλ.* 2, γ, β, o. *ὁ πλ.* ε, J. 12. *ξανθὴν μὲν.* ρ, β. ib. *γραφικὴ δὲ οἶδε καὶ ἄλση — ταῦτα.* v. 15. *ἐπ' αὐτὴν.* β. 16. *καρδίας.* ρ. ib. *ζωγραφίαν.* h. ib. *τεττάρων.* γ. *καὶ τῶν τεσσάρων.* λ. 17. *ὁ λόγος — ζωγρ. — ἀλλ' εἴδη* ζ. *ἀπαγγ.* v. 18. *συντεθέντες.* l. 19. *δέ μοι.* φ. *δὲ ἐμοί.* ς. 20. *Ἕλληνες ἀστικοί.* λ. ib. *ἀττικοί.* f.

3, 4. p. 762, 763.

ποιεῖσθαι παρεῖχεν ὄχλον τὰ μειρακια φοιτῶντα ἐπὶ τὴν οἰκίαν τοῦ ξένου. κατέλυον δὲ ἔξω τοῦ τείχους ἐν προαστείῳ τετραμμένῳ πρὸς θαλατταν, ἐν ᾧ στοά τις ἐξῳκοδόμητο κατὰ ξέφυρον ἄνεμον ἐπὶ τεττάρων, οἶμαι, ἢ καὶ πέντε ὀροφῶν ἀφορῶσα ἐς τὸ Τυρρηνικὸν πέλαγος. ἥστραπτε μὲν
764 οὖν καὶ λίθοις, ὁπόσους ἐπαινεῖ τρυφή, μάλιστα δὲ ἤνθει γραφαῖς ἐνηρμοσμένων αὐτῇ πινάκων, οὓς ἐμοὶ δοκεῖν οὐκ ἀμαθῶς τις συνελέξατο, σοφία γὰρ ἐν αὐτοῖς ἐδηλοῦτο πλειόνων ξωγράφων. ἐγὼ μὲν οὖν καὶ ἀπ' ἐμαυτοῦ ᾤμην δεῖν ἐπαινεῖν τὰς γραφάς, ἦν δὲ ἄρα υἱὸς τῷ ξένῳ κομιδῇ νέος, ἐς ἔτος δέκατον, ἤδη φιλήκοος καὶ χαίρων τῷ μανθάνειν, ὃς ἐπεφύλαττέ με ἐπιόντα αὐτὰς καὶ ἐδεῖτό μου ἑρμηνεύειν. ἵν' οὖν μὴ σκαιόν με ἡγοῖτο „ἔσται ταῦτα" ἔφην „καὶ ἐπίδειξιν αὐτὰ ποιησόμεθα, ἐπειδὰν ἥκῃ τὰ μειράκια. ἀφικομένων οὖν „ὁ μὲν παῖς" ἔφην „προβεβλήσθω καὶ ἀνακείσθω τούτῳ ἡ σπουδὴ τοῦ λόγου, ὑμεῖς δὲ ἕπεσθε μὴ ξυντιθέμενοι μόνον, ἀλλὰ καὶ ἐρωτῶντες, εἴ τι μὴ σαφῶς φράζοιμι.

Α'.

ΣΚΑΜΑΝΔΡΟΣ.

α'. Ἔγνως, ὦ παῖ, ταῦτα Ὁμήρου ὄντα ἢ οὐ πώποτε ἔγνωκας δηλαδὴ θαῦμα ἡγούμενος, ὅπως δήποτε ἔξῃ τὸ πῦρ ἐν τῷ ὕδατι; συμβάλλωμεν οὖν, ὅ τι νοεῖ, σὺ δὲ ἀπόβλεψον αὐτῶν, ὅσον ἐκεῖνα ἰδεῖν, ἀφ' ὧν ἡ γραφή. οἶσθά που τῆς Ἰλιάδος τὴν γνώμην, ἐν οἷς Ὅμηρος ἀνίστησι μὲν τὸν Ἀχιλλέα ἐπὶ τῷ Πατρόκλῳ, κινοῦνται δὲ οἱ θεοὶ πολεμεῖν ἀλλήλοις. τούτων οὖν τῶν περὶ τοὺς θεοὺς ἡ γραφὴ τὰ μὲν ἄλλα οὐκ οἶδε, τὸν δὲ Ἥφαιστον ἐμπεσεῖν φησι τῷ Σκαμάνδρῳ πολὺν καὶ ἄκρατον. ὅρα δὴ πάλιν· πάντα ἐκεῖθεν· ὑψηλὴ μὲν αὕτη ἡ πόλις καὶ ταυτὶ τὰ κρήδεμνα τοῦ Ἰλίου, πεδίον δὲ τουτὶ μέγα καὶ ἀποχρῶν τὴν Ἀσίαν πρὸς τὴν Εὐρώπην ἀντιτάξαι, πῦρ δὲ
765 τοῦτο πολὺ μὲν πλημμυρεῖ κατὰ τοῦ πεδίου, πολὺ δὲ περὶ τὰς ὄχθας ἕρπει τοῦ ποταμοῦ, ὡς μηκέτι αὐτῷ δένδρα εἶναι. τὸ δὲ ἀμφὶ τὸν Ἥφαιστον πῦρ ἐπιρρεῖ τῷ ὕδατι, καὶ ὁ ποταμὸς ἀλγεῖ καὶ ἱκετεύει τὸν Ἥφαιστον αὐτός. ἀλλ' οὔτε ὁ ποταμὸς γέγραπται κομῶν, ὑπὸ τοῦ περικεκαῦσθαι, οὔτε χωλεύων ὁ Ἥφαιστος, ὑπὸ τοῦ τρέχειν. καὶ τὸ ἄνθος τοῦ πυρὸς οὐ ξανθόν, οὐδὲ τῇ εἰθισμένῃ ὄψει, ἀλλὰ χρυσοειδὲς καὶ ἡλιῶδες. ταῦτα οὐκέτι Ὁμήρου.

ΚΩΜΟΣ.

β'. Ὁ δαίμων ὁ Κῶμος, παρ' οὗ τὸ κωμάζειν τοῖς ἀνθρώποις, ἐφέστηκεν ἐν θαλάμου θύ- 6
ραις χρυσαῖς, οἶμαι, βραδεῖα δὲ ἡ κατάληψις αὐτῶν ὑπὸ τοῦ ὡς ἐν νυκτὶ εἶναι. γέγραπται δὲ ἡ

1. παρεῖνται. λ. 2. τοίχους. h. ib. ἐς Θ. f. ib. Θάλατταν. 2. Θάλασσαν. f, β, EJ. ib. ἐξῳκοδόμηται, o suprasc. γ. 3. ἥστραπτε — τρυφὴ. v. ib. ἥστραπτε. v, φ. ἔστραπτε. vd. ἥστραπτο. ς. (f.) 4. καὶ λίθαρις. v. ib. ἡ τρυφὴ conj. J. ib. αὐτῇ om. p 2562. ib. ἴσως ἐμοὶ ἐδόκει. h. ib. ἐμοί τε δοκεῖν. λ. 5. ἀπαθῶς. C, EJ. ἀμαθῶς Thiersch. Kunstbl. 1827, 66. ib. ἐν αὐταῖς. φ, vd. 6. ἐγὼ μὲν καὶ. f. ἐγὼ δὲ καὶ. h. ib. ἐπ' ἐμαυτοῦ. λ. ib. ᾤμην δεῖν. l, o. ᾤμην. ς. 7. δέκατον ἤδη, φιλήκοος. sic interp. μ, β, EJ. ib. χέρων τὸ. λ. ἑρμ. τὰς γραφὰς. f. 9. ποιησώμεθα. ju, m, o. ib. ἕπειδὴ. o. ib. ἤκοι. 2. ἥκει. l. ib. οὖν om. j. 10. τοῦτο. m. ib. ἡμεῖς δὲ ἕπεσθαι. φ. ib. καὶ μὴ συντιθ. br. 11. μὴ καλῶς. μ. μὴ σαφές. l. ib. φράζοιμι. f, φ. p. φράζοιμεν. vd, 2, 3, EJ.

I, 1. 12. ἔγνως. C. ἔγνως οὖν. EJ. ib. ἢ οὐκ ἔγνως αὐτὰ. r. 13. ὁπωσδήποτε. E. ib. συμβάλλω μὲν. μ, br, β. συμβάλω μὲν. γ, h, ε. ib. νοεῖ. conj. J. νοεῖς. ς. 14. οἶσθά που — ἀλλήλοις. Gr. Herm. 377. ib. Ὅμηρος om. 2. (br. addit in mg.) ib. μὲν ἀνίστησι. Gr. Herm. 377. 15. πολεμεῖν om. λ. 16. κασμάνδρῳ. r. ib. πολὺν τε. μ. ib. πολὺν ἄκρατον. λ. 18. τῆς Ἰλίου. l. τῆς ἡλίου. λ. 19. πῶς δὲ — ἕρπει. v. ib. κατὰ πεδίον. v. ib. περὶ. 1, v. (παρὰ. φ). κατὰ. 2, 3, EJ. 22. καὶ τὸ — Ὁμήρου. φ. ib. περιτρέχειν. vd. 23. ὄψει om. φ. ib. χρυσιῶδες. v. χρυσῶδες. gu. ib. ἡλῶδες. v. ib. ταῦτα. v, vd. ταῦτ'. ς.

II. 24. τοῖς ἀνθρώποις τὸ κωμάζειν. p. κωμάζειν. h, γ.